Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: qig-aa

Ἄντυλλος ὁ ἰατρός · Antyllus the Surgeon

# From the Work-Enemas, That They are Taken for Three Reasons

Ἐκ τοῦ περὶ κλυσμῶν ὅτι διὰ τρεῖς αἰτίας

**Period:** Ῥωμαϊκή Roman
**Dialect:** Κοινή Koine (frg)
**Domain:** Ἰατρική Medicine
**Format:** Πραγματεία Treatise

43 (1t) Ἐκ τοῦ περὶ κλυσμῶν ὅτι διὰ τρεῖς αἰτίας παραλαμβάνοντα ι . Παραλαμβάνονται οἱ κλυσμοὶ διὰ τρεῖς αἰτίας ἤτοι πολλὰς ἡμέρας τῆς γαστρὸς ἐπεσχημένης, ἵνα μήτε ἐκ τῆς παραθέσεως καὶ τῆς παλαιότητος τῶν σκυβάλων ἀναθυμίασίς τις γένηται ἀηδὴς, χώραν τε ἔξῃ τὰ εἰσφερόμενα σιτία, κεκενωμένων τῶν ἐντέρων, ἥ τε πέψις μὴ μοχθηρὰ γένηται καὶ ἡ ἀνάδοσις τῶν νεαρῶν σιτίων ἐπιπλεκομένη τοῖς παλαιοῖς περιττώμασι, ἢ ὅταν αὐτοῦ τοῦ πυρετοῦ συνεκτικὰ καὶ αὐξητικὰ ὑπάρχῃ τὰ περιττώματα, χορηγίαν παρέχοντα ἐκ τῆς ἰδίας ἀναθυμιάσεως, ἢ ὅταν τὰ ἐγκείμενα σκύβαλα συμπτώματός τινος παρεκτικὰ ᾖ.

44 μάλιστα δὲ τὰ τοιαῦτα συμπτώματα ἐν ταῖς ἐποχαῖς τῆς γαστρὸς ἐπιφέρεται, βάρησις τῆς κεφαλῆς, καὶ σκοτόδινοι καὶ κεφαλαλγίαι, ἀνατροπὴ στομάχου, ναυτίαι, ἀνορεξίαι, σπαραγμοὶ αἱματώδεις, δίψαι, στόματος ξηρότης καὶ πικρότης, πνεύματος δυσωδία, ὕπνοι μετέωροι καὶ ἀηδεῖς, ἐμπνευματώσεις καὶ στρόφοι. Δριμέσι κλυσμοῖς χρηστέον ἤτοι σκυβάλων ἕνεκα κομιδῆς, ἢ ὑπὲρ τοῦ τὰ ἐνοχλοῦντα τὸ σῶμα ἐπισπάσασθαι εἰς τὰ ἔντερα, καὶ δι' αὐτῶν ἐξάγειν, ἢ μεταγωγῆς ὕλης ἔκ τινος τόπου εἰς τὰ ἔντερα, καὶ τέταρτον ἕνεκα τοῦ μοχλεῦσαι καὶ ἀνακινῆσαι διάθεσιν ἐσκιῤῥωμένην ἐν τῷ σώματι· ἕνεκα μὲν οὖν κομιδῆς τῶν σκυβάλων, ἐπειδὰν ξηρά τε ᾖ καὶ πολλὰ καὶ ἐσφηνωμένα καὶ πολλαῖς ἡμέραις ἀπειλημμένα. ἐν ὥρᾳ οὐ χειμερίῳ σφόδρα, οὔτε ὑπὸ θέρους διακαοῦς παραλαμβάνομεν τοὺς δριμεῖς κλυσμοὺς, ἐπειδὰν ἀποδοκιμάζωμεν τὰ δριμύτερα τῶν καθαρτηρίων. χάριν δὲ μεταγωγῆς χρώμεθα ἐξαιρέτως ἐπὶ καταφορᾶς τῆς ἄνευ πυρετοῦ ἢ σὺν πυρετῷ νωθρῷ, ἐπὶ πνιγὸς ἡστερικῆς, καταπτώσεως ἐπιληπτικῆς, σκοτώματος μάλιστα, ἐπὶ πνιγμῶν τῶν ὑπὸ ἐλεβόρου ἢ γάλακτος ποθέντος ἐν τῷ στομάχῳ καὶ διὰ τοῦτο πνίγοντος, καὶ ἔτι μᾶλλον ἐπὶ μύκησιν ἢ ὄμφαξι βρωθεῖσιν ἢ ἐπὶ τῷ ἀγαρικῷ, στρύχνῳ ἢ μανδραγόρᾳ ἢ ὑοσκυάμῳ· κατασπῶντες γὰρ εἰς ἔντερα οἱ δριμεῖς κλυσμοὶ τὸ ἐνοχλοῦν τῷ σώματι ῥᾳδίως ἀπολύουσι τοὺς πνιγμούς.

45 ἐπὶ δὲ διαθέσεσι χρονίαις, ἐμμόνοις χρώμεθα δριμέσι κλυσμοῖς, ἰσχάδι, ἀρθρίτιδι, κεφαλαίᾳ, ὀρθοπνοίᾳ, ἐξανθήμασιν, ὕδρωψι, νεφρίτιδι καὶ ὑστερικῇ διαθέσει, κινοῦσι καὶ ἐκμοχλεύουσι τῶν καθαρτηρίων οὐκ ἔλαττον.